16 βᾶσι τὴν ἐντολὴν τοῦ θεοῦ. [16]καθοπλισώμεθα τοιγαροῦν τὴν τοῦ
17 θείου λογισμοῦ παθοκρατείαν. [17]οὕτω γὰρ θανόντας ἡμᾶς Αβρααμ
καὶ Ισαακ καὶ Ιακωβ ὑποδέξονται καὶ πάντες οἱ πατέρες ἐπαινέ-
18 σουσιν. [18]καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν ἔλε-
γον οἱ περιλειπόμενοι Μὴ καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ ψεύσῃ
19 τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς. [19]οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς
ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια διὰ πα-
τέρων τοῖς γεννωμένοις ἐμέρισεν καὶ διὰ τῆς μητρῴας φυτεύσασα
20 γαστρός, [20]ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον καὶ ἐν
τῷ αὐτῷ χρόνῳ πλασθέντες καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες
21 καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες [21]καὶ διὰ τῶν ἴσων
ἀποτεχθέντες χρόνων καὶ ἀπὸ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν,
22 ἀφ᾽ ὧν συντρέφονται ἐναγκαλισμάτων φιλάδελφοι ψυχαί· [22]καὶ
αὔξονται σφοδρότερον διὰ συντροφίας καὶ τῆς καθ᾽ ἡμέραν συν-
ηθείας καὶ τῆς ἄλλης παιδείας καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ
23 ἀσκήσεως. [23]οὕτως δὴ τοίνυν καθεστηκυίης συμπαθοῦς τῆς φιλ-
αδελφίας οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον ἔσχον πρὸς ἀλλήλους.
24 [24]νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες καὶ τὰς αὐτὰς ἐξασκήσαντες
ἀρετὰς καὶ τῷ δικαίῳ συντραφέντες βίῳ μᾶλλον ἑαυτοὺς ἠγάπων.
25 [25]ἡ γὰρ ὁμοζηλία τῆς καλοκἀγαθίας ἐπέτεινεν αὐτῶν τὴν πρὸς
26 ἀλλήλους εὔνοιαν καὶ ὁμόνοιαν· [26]σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινο-
27 τέραν αὐτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν. [27]ἀλλ᾽ ὅμως καίπερ
τῆς φύσεως καὶ τῆς συνηθείας καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς
ἀδελφότητος αὐτοῖς φίλτρα συναυξόντων ἀνέσχοντο διὰ τὴν εὐ-
σέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολειπόμενοι, τοὺς καταικιζομένους ὁ-
14 ρῶντες μέχρι θανάτου βασανιζομένους, [1]προσέτι καὶ ἐπὶ τὸν αἰκι-
σμὸν ἐποτρύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐ-
τούς, ἀλλὰ καὶ τῶν τῆς φιλαδελφίας παθῶν κρατῆσαι.
2 [2]Ὦ βασιλέων λογισμοὶ βασιλικώτεροι καὶ ἐλευθέρων ἐλευθερώ-
3 τεροι. [3]ὦ ἱερᾶς καὶ εὐαρμόστου περὶ τῆς εὐσεβείας τῶν ἑπτὰ
4 ἀδελφῶν συμφωνίας. [4]οὐδεὶς ἐκ τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν

15 παραβασι(ν) S*A] -βαινουσι(ν) rel. || 16 την et παθοκρατειαν] ν > A uel A† || 17 γαρ > A† | θανοντας] παθοντας A† || 18 αυτων] ν > S*pau. | αδελφων] ν > A† | ημων αδελφους > A† || 19 αδελφοτητος] ανθρωποτ. A | πατερων] pr. των A || 21 γαλακτοποτουντες] γαλακτοτροφουντες S* | ων] ου A† | συντρεφονται] συνστρ. A || 22 συντροφιας] -αν S || 23 συμπαθους της φιλαδ.] της φιλαδ. συμπαθουσης A† | προς αλληλους] την πρ. αλλ. ομονοιαν A || 24 συντραφεντες] συστρ. S*† | εαυτους ηγαπων] επ αυτους ηγαγον A† || 25 αυτων] ν > S† | ευνοιαν και > A || 26 ποθεινοτεραν] pr. την S† | αυτοις] pr. ε S (ex corr.?) | κατεσκευαζον] -ζεν A | την > Sc† || 27 ομως] ομοιως A† | συναυξαντων S*† | υπολελ(ε)ιμμενοι A | καταικιζομενους] κατοικτιζ. S
14 1 των της] της των αδελφων SApau. || 2 βασιλεων] -ως A || 3 ω > A† | ευαρμοστου Spau.] εναρμ. A (A† -στους) | ευσεβ(ε)ιας] ιερας S*†